www.tezaurliturgic.ro



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ ΠΕΛΑΓΙΑΝ

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον μεθ᾽ ὅ τὸ Θεὸς Κύριος καὶ τὰ κάτωθι Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Παρθενομάρτυς τοῦ Χριστοῦ Πελαγία, τοὺς καταφεύγοντας πιστῶς τῷ ναῷ σου, καὶ εὐλαβῶς ὑμνούντων σου τὴν ἄθλησιν, δι᾽ ἧς καταβέβληκας, τῶν ἀθέων τὸ θράσος, ῥῦσαι ταῖς πρεσβείαις σου, ἀπὸ πάσης ἀνάγκης, καὶ συμφορῶν καὶ νόσων χαλεπῶν, καὶ τοῦ ἐχθροῦ τῆς δολίας κακότητος.

Δόξα Πατρί. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ καὶ ὁ Κανὼν τῆς Ἁγίας, οὗ ἡ Ἀκροστιχίς· «Σῷζε εὐχαῖς σου ἡμᾶς ὦ Πελαγία. Κυρίλ(λ)ου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Συνοῦσα Μαρτύρων ταῖς στρατιαῖς, ἐν τῶν πρωτοτόκων, τὰ σκηνώματα εὐκλεῶς, μνημόνευε πάντων Πελαγία, τῶν ἐκτελούντων εὐφήμως τὴν μνήμην σου.

Ὡς Μάρτυς τοῦ Λόγου πανευκλεής, αὐτὸν ἐκδυσώπει, Πελαγία ὑπὲρ ἡμῶν, ἵνα τοῦ πυρὸς τοῦ αἰωνίου, ἡμᾶς ὡς εὔσπλαγχνος ἅπαντας ῥύσηται.

Ζωῆς μετασχοῦσα τῆς ἀληθοῦς, μάρτυς Πελαγία, διὰ πόνων μαρτυρικῶν, ἄπονον ἡμᾶς διάγειν βίον, ἐπισκοπῇ χάριτός σου ἀξίωσον.

Θεοτοκίον.

Ἐλέους τεκοῦσα ὑπερφυῶς, τὴν ἄβυσσον Κόρη, τῆς ἀβύσσου με τῶν παθῶν, ἀνάγαγε θείᾳ σου πρεσβείᾳ, ἵνα ἀεί σε γεραίρω σῳζόμενος.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἐρασθεῖσα ἐνθέως, τὸν Λυτρωτὴν Κύριον, τὴν ἐν χαλκουργήματι καῦσιν, χαίρουσα ἤνεγκας· ἐντεῦθεν χάριτος, τῆς θείας δρόσου μετέσχες, ἧς κἀμὲ ἀξίωσον, τῇ μεσιτείᾳ σου.

Ὑπελθοῦσα ἀνδρείως, ἐν ἁπαλῷ σώματι, μάρτυς Πελαγία ἀθέων, τὰ κολαστήρια, ἔργῳ ἐκήρυξας, τῆς εὐσεβείας τὸ κράτος, ὃ ἐν τῇ καρδίᾳ μου, δεῦρο ἑδραίωσον.

Χαίροις Μάρτυς Κυρίου, νύμφη Χριστοῦ ἄμωμε, ἡ τῆς παρθενίας τὴν χλαῖναν, ἄθλοις κοσμήσασα· κόσμησον δέομαι, τῶν ἀρετῶν με τῷ κόσμῳ, Πελαγία ἔνδοξε, τῇ προμηθείᾳ σου.

Θεοτοκίον.

Ἀπειρόγαμε Κόρη, ἡ τὸν Θεὸν τέξασα, καὶ τῆς ἁμαρτίας τὴν λύπην, ἐξαφανίσασα, τῇ ἱκεσίᾳ μου, κλῖνον εὐσπλάγχνως τὸ οὖς σου, καὶ γενοῦ γλυκεῖά μοι, Μῆτερ παράκλησις.

Διάσωσον παρθενομάρτυς πανεύφημε Πελαγία, τῶν δολερῶν βουλευμάτων τοῦ δράκοντος, τοὺς καταφεύγοντας πίστει τῇ ἀρωγῇ σου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Χριστὸν τὸν Θεόν, ποθήσασα ἀοίδιμε, στεῤῥῶς δι᾽ αὐτόν, ὑπῆλθες τὸ μαρτύριον, καὶ θαυμάτων ἔλαβες, παρ᾽ αὐτοῦ Πελαγία τὴν δύναμιν, δι᾽ ὧν ἡμᾶς ἀεὶ εὐεργετεῖς, τοὺς πόθῳ θερμῷ σε μακαρίζοντας.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἱλασμὸν ἡμῖν αἴτησαι, καὶ παραπτωμάτων τελείαν ἄφεσιν, Πελαγία καλλιπάρθενε, πρὸς Θεὸν παῤῥησίαν ὡς ἔχουσα.

Στηριγμὸς ἀκαταίσχυντος, γένοιτο θεόφρον ἡ προστασία σου, ἡμῖν πᾶσι τοῖς γεραίρουσι,

www.tezaurliturgic.ro



Πελαγία ἀξίως τὰ ἆθλά σου.

Σὺ Θεοῦ νύμφη πάγκαλε, μάρτυς Πελαγία μὴ καταισχύνῃς με, τῇ πρεσβείᾳ σου ἐλπίζοντα, δι' ἧς πάντας λυτροῦσαι ἐκ θλίψεων.

Θεοτοκίον.

Ὁλικῶς τετραυμάτισμαι, τῇ κακίᾳ Μῆτερ τοῦ πολεμήτορος· μὴ παρίδῃς μου τὴν κάκωσιν, εὐσπλαγχνίας ὡς πλήρης ὑπάρχουσα.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὕμνοις εὐλαβῶς, Πελαγία εὐφημοῦμέν σε, ταῖς πρεσβείαις σου ἐλπίζοντες τυχεῖν, τῆς χαρᾶς τῆς ἀνεκφράστου οἱ ἀνάξιοι.

Ἤσχυνας ἐχθρόν, τὸν ἀλάστορα τοῖς ἄθλοις σου, οὗ ἐνίσχυσον ἡμᾶς καταπατεῖν, τὰς παγίδας Πελαγία ἀξιάγαστε.

Μάρτυς θαυμαστή, τῆς ψυχῆς μου τὰ συντρίμματα, καὶ τοῦ σώματος τὰ ἄλγη συμπαθῶς, Πελαγία τῇ σῇ χάριτι θεράπευσον.

Θεοτοκίον.

Ἄναρχον Θεόν, ἡ τεκοῦσα μετὰ σώματος, τῶν τοῦ σώματος ματαίων ἡδονῶν, συμπαθείᾳ σου ἀνώτερον συντήρει με.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Στηρίζουσα μὴ ἐλλίπῃς ἔνδοξε, ἐν τοῦ βίου με ἀεὶ ταῖς ἀνάγκαις, καὶ τὴν ζωὴν μου φρουροῦσα μὴ παύσῃ, ἐν τῶν παθῶν ταῖς σφοδραῖς ἐπιθέσεσι· σοὶ γὰρ προστρέχω εὐλαβῶς, παῤῥησίαν μεγίστην ὡς ἔχουσα.

Ὢ μάρτυς τοῦ Βασιλέως πάγκαλε, Πελαγία τῶν Μαρτύρων λαμπρότης, ῥεῖθρα θαυμάτων ἀεὶ πελαγίζεις, τοῖς τῷ σεπτῷ σου τεμένει προστρέχουσι. Ὅθεν ἰάτρευσον κἀμοῦ, τὴν κατ' ἄμφω ἀσθένειαν δέομαι.

Πυρίκαυστος Πελαγία ἔνδοξε, πρὸς ψυχῆς σου τὸν Νυμφίον μετέστης, ἐν ᾧ νῦν ζῶσα ἐν δόξῃ ἀφράστῳ, μὴ ἐπιλάθῃ ἡμῶν τῶν τιμώντων σε, ἵνα ῥυσθῶμεν διὰ σοῦ, τῆς δεινῆς τρικυμίας τῶν θλίψεων.

Θεοτοκίον.

Ἐθέωσας τὴν οὐσίαν Δέσποινα, τὸν ἀνθρώπων τὸν Δεσπότην τεκοῦσα, καὶ ἀψευδὴς προστασία ἐδόθης, τοῖς ἐν τῷ βίῳ δεινῶς κινδυνεύουσιν, οἷς συναρίθμησον ἁγνή, Θεοτόκε κἀμὲ τὸν ἀνάξιον.

Διάσωσον παρθενομάρτυς πανεύφημε Πελαγία, τῶν δολερῶν βουλευμάτων τοῦ δράκοντος, τοὺς καταφεύγοντας πίστει τῇ σῇ πρεσβείᾳ.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Καταλιποῦσα μνηστῆρα ἐπίγειον, τῷ οὐρανίῳ ἀθλήσει νενύμφευσαι· ὃν θείαις πρεσβείαις σου ἵλεων, ὦ Πελαγία θεόφρον ἀπέργασαι, ἡμῖν τοῖς πιστῶς εὐφημοῦσί σε.

Προκείμενον. Ἦχος δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον, ζήτει τῇ ια΄ Ἰουλίου.

Δόξα Πατρί. Ταῖς τῆς Ἀθληφόρου... Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Βάπτισμα ποθήσασα, τὸ ἱερὸν Πελαγία, θαυμαστῶς κατέλαβες, τὸ τοῦ θείου πόθου σου, πέρας ἔνδοξε, καὶ τοῦ Νυμφίου σου, ὀπίσω δραμοῦσα, ὡς νεᾶνις καλλιπάρθενος, τούτῳ συνήρμοσαι, τῇ ἐπουρανίῳ ἀθλήσει σου, δι' ἧς τὸν ὑπερήφανον, δράκοντα εἰς τέλος κατῄσχυνας. Ὅθεν τοὺς ἐν ὕμνοις, γεραίροντας τὴν μνήμην σου πιστῶς, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, πάντοτε προστάτευε.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Λογισμῶν ψυχοφθόρων, τὸ βαθύτατον σκότος, συνέχει Μάρτυς ἡμᾶς· σὺ δὲ τῇ φωταυγείᾳ, τῆς θείας χάριτός σου, δεῦρο τοῦτο σκεδάζουσα, ἵνα ἀεί σε πιστῶς, ὑμνῶμεν Πελαγία.

Ἀβλαβεῖς ἐκ κακίας, ψευδαδέλφων δολίων, ὦ Πελαγία σεμνή, διάσῳζε ἀπαύστως, ἡμᾶς ἐξαιτουμένους, τὴν θερμήν σου ἀντίληψιν, καὶ εὐφημοῦντας λαμπρῶς, τὰς σὰς παναριστείας.

Γεωργίᾳ ἁγίᾳ, δραστικῶν πρεσβειῶν σου, πρὸς τὸν Δεσπότην Χριστόν, τὰ κρείττονα γεώργει, ἡμῶν ἐν ταῖς καρδίαις, Πελαγία ἀοίδιμε, ἵνα καρ-

www.tezaurliturgic.ro



ποὺς ἀγαθούς, προσφέρωμεν Κυρίῳ.

Θεοτοκίον.

Ἱλασμὸν ἡμῖν αἴτει, καὶ πταισμάτων τὴν λύσιν, εὐλογημένη Ἁγνή· ἐκύησας γὰρ ξένως, ἁγίων ἐξ αἱμάτων, ἱλασμόν τε καὶ λύτρωσιν, παντὶ τῷ κόσμῳ Χριστόν, τὸν μόνον ζωοδότην.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἀνύψωσόν μου, τῶν χαμερπῶν Πελαγία, τὴν διάνοιαν πιστῶς καθικετεύω, ὡς Θεοῦ Ὑψίστου, στεφανηφόρος Μάρτυς.

Καταφυγή μου, ἐν ταῖς τοῦ βίου ἀνάγκαις, Πελαγία παμμακάριστε ὑπάρχεις· μή με καταισχύνῃς, δι᾽ οἰκτιρμῶν σου σπλάγχνα.

Ὑψόθεν ἴδε, ὦ Πελαγία θεόφρον, ἐφ᾽ ἡμᾶς κεκακωμένους παναθλίως, βραβεύουσα πᾶσι, ἡμῖν τὴν ἰατρείαν.

Θεοτοκίον.

Ῥῶσίν μοι δίδου, ὦ Μαριὰμ τὴν κατ᾽ ἄμφω, καὶ ἐνίσχυσον ἀεὶ ἐργάζεσθαί με, τοῦ ἐκ σοῦ τεχθέντος, τὸ θέλημα ἀόκνως.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰλύος τῶν παθῶν με, κάθαρον τελείως, καθαρτικῷ προμηθείας σου ὕδατι, ὦ Πελαγία Μαρτύρων, τὸ ἐγκαλλώπισμα.

Λαμπὰς φαεινοτάτη, αἴγλης τῆς ἀΰλου, ὦ Πελαγία θεόφρον ὑπάρχουσα, τὴν τοῦ νοός μου σκοτίαν, δεῦρο διάλυσον.

Ὁλόφωτον παστάδα, Μάρτυς κατοικοῦσα, ἐν τοῦ φωτὸς τῇ ὁδῷ με ἀξίωσον, περιπατεῖν ταῖς εὐχαῖς σου, ὅπως σωθήσομαι.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία, Κεχαριτωμένη, ἁγνόν με τήρει ψυχῇ τε καὶ σώματι, ἵνα πιστῶς μακαρίζω, ἀεὶ τὸν τόκον σου.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.

Χαίροις ἀθληφόρε τοῦ Ἰησοῦ, μάρτυς Πελαγία, ἡ ἀθλήσασα εὐκλεῶς, καὶ τὰς μυριάδας, ἐχθρῶν καταβαλοῦσα· ἡμῶν οὖν ταῖς ἁγίαις, εὐχαῖς σου πρόστηθι.

Δόξαν παριδοῦσα τὴν κοσμικήν, καὶ καταλιποῦσα, τὸν μνηστῆρα τὸν σαρκικόν, Χριστῷ ἐνυμφεύθης, ψυχῆς σου τῷ νυμφίῳ, πυρὶ ὦ Πελαγία, ὑπεραθλήσασα.

Χαίροις ἄνθος εὔοσμον τῆς Ταρσοῦ, καὶ τῆς Ἐκκλησίας, μαργαρίτης ὁ νοητός· χαίροις Πελαγία, τῆς παρθενίας φοῖνιξ, καὶ θείου μαρτυρίου, δένδρον πολύκαρπον.

Ἔνδον χαλκουργήματος ἀπηνῶς, φλεχθεῖσα ὦ μάρτυς, δι᾽ ἀγάπην τοῦ Ἰησοῦ, δροσίζεις νῦν πάντας, τοὺς σοὶ προσερχομένους, ἐν πίστει Πελαγία, δρόσῳ θαυμάτων σου.

Χαίροις καλλιμάρτυς τοῦ Ἰησοῦ, ἀθέων τὴν πλάνην, ἡ φαυλίσασα ἀνδρικῶς· χαίροις Πελαγία, λελαμπρυσμένη κόρη, ἡ πίστεως δυνάμει, ἀνδραγαθήσασα.

Ἴδε Πελαγία νῦν ἐφ᾽ ἡμᾶς, ἐπικαλουμένους, τὴν ὀξεῖαν σου ἀρωγήν, καὶ ῥῦσαι κινδύνων, καὶ πάσης ἄλλης βλάβης, ὡς πλήρης συμπαθείας, τῇ προστασίᾳ σου.

Μαρτύρων τὸν δρόμον ἐπὶ τῆς γῆς, τελέσασα μάρτυς, ἀλογήσασα τῆς σαρκός, θαυμάτων τὴν χάριν, θεόθεν ὑπεδέξω, δι᾽ ὧν ὦ Πελαγία, λάμπεις τοῖς πέρασι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον, τὰ συνήθη Τροπάρια, Ἐκτενὴς παρὰ τοῦ Ἱερέως καὶ Ἀπόλυσις μεθ᾽ ἣν ψάλλομεν τὰ κάτωθι Τροπάρια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε φιλομάρτυρες πιστῶς, τὴν διὰ πυρὸς προσαχθεῖσαν, θυσίαν ζῶσαν Θεῷ, Πελαγίαν σήμερον, ἀνευφημήσωμεν, ἱεροῖς μελῳδήμασιν, αὐτῇ ἐκβοῶντες· Μάρτυς ἀκατάπληκτε, ῥῦσαι πρεσβείαις σου, θλίψεων, παθῶν τε κινδύνων, καὶ ἐπηρειῶν ὀλεθρίων, τοὺς τῇ ἀντιλήψει σου προστρέχοντας.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δι᾽ εὐχῶν τῶν Ἁγίων...

*Δίστιχον.*

*Πελάγισόν μοι ὦ Μάρτυς Πελαγία*
*Κυρίλλῳ χάριν πιστῶς προσπίπτοντί σοι.*